Msc. Dresd.
A 144.

http://digital.slub-dresden.de/ppn345552342/1

http://digital.slub-dresden.de/ppn345552342/2

http://digital.slub-dresden.de/ppn345552342/3

6.3.1908 für Dr. Lüdtke an die Kieler Univ.-Bibliothek übersandt

http://digital.slub-dresden.de/ppn345552342/4

Ex Cod. 53. in folio.

Mont. L. VI. p. 119.

60

# Paraphrasis Carminis Gregorii Nazianzeni de Libris Canonicis V. et N. Testamenti.

Καλὸν καὶ λόγοις ἐνασχολεῖσθαι πνευματικοῖς,
καὶ διανοίᾳ καὶ γλώσσῃ τούτοις ἐναντρυφᾷν,
καὶ τῷ νόμῳ κυρίου διαπαντὸς ἐμμελετᾷν.
Ζημιῶν γὰρ ἂν γέ τι πάντως κερδαίνειν ἐπάναγκες
ἐκ τούτου. ἢ γὰρ τῶν πόνων ἔπαθλον ἐκ θεοῦ
λαμβάνομεν τὴν τῶν κεκρυμμένων ἀποκάλυ-
ψιν, ἢ τοῦτο λυσιτελὲς, τὸ κατείλεσθαι πρὸς
ἀρετὴν θείοις παραγγέλμασιν, ἢ κατὰ θεῖον
λόγον, ἀπαγόμεσθα τῶν γηΐνων τῇ περὶ τὰ
πνευματικὰ μερίμνῃ καὶ σχολῇ. ἐπεὶ δὲ
ὥσπερ τῷ σίτῳ συναναφύονται τὰ ζιζάνια,
καὶ τοῖς [ῥόδοις συνανατέλλουσιν ἄκανθαι, [
οὕτω καὶ ταῖς γνησίαις τῶν ἱερῶν βίβλων
νόθοι συναναφαίνονται, ἵνα μὴ τὸν νοῦν παρα-
κλαπῇς, καὶ ἀνθέξῃ τῶν ξένων ὡς ἡμετέρων,
τὸν ἔγκριτον ἀριθμὸν, ὦ φίλος, ἐξ ἐμοῦ μάν-
θανε, καὶ τοῦτον δεχόμενος, καὶ ὡς σηπτὸν
σπερμάτων ἀποποιοῦ τὸ ἀλλότριον. Ἱστορικαὶ
μέν εἰσιν αἱ πᾶσαι βίβλοι τῆς παλαιᾶς
τῶν ἑβραίων σοφίας δύο πρὸς ταῖς δέκα.
πρώτη γένεσις, ἔξοδος μετέπειτα, μεθ' ἃ
τὸ λευιτικὸν, καὶ ἐφεξῆς οἱ ἀριθμοί. εἶθ'
ἡ, καλουμένη ἐπινομίς, ἤτοι τὸ δευτερονόμιον.

ἰησοῦς μετὰ ταῦτα, μεθ᾽ οὗ οἱ κριταὶ καὶ ἡ ἱστο-
ρία τῆς ῥοὺθ ὀγδόη. βίβλοι δύο τῶν βασιλειῶν,
τὸν ἔνατον καὶ δέκατον ἀποπληροῦσιν ἀριθμόν.
μεθ᾽ ἃς τὰ παραλειπόμενα καὶ ὁ ἔσδρας ἔσχα-
τος. εἰσὶ δὲ καὶ στιχηραὶ καλούμεναι πέντε, ὧν
ἡ πρώτη τὰ τοῦ ἰὼβ ἀθλήματα, ἡ δευτέρα δα-
βὶδ ψαλτήριον, καὶ σολομῶντος τρεῖς, ὁ τὰ
φυσικὰ φιλοσοφῶν ἐκκλησιαστής, τὸ θεολογικὸν
ᾆσμα καὶ αἱ ἠθικαὶ παροιμίαι. αἱ δὲ καὶ
τοῦ προφητικοῦ χαρίσματος ἔχονται πέντε, ὧν ἐ-
μὲν εἰς μίαν συγκεφαλαιούμεναι βίβλον, οἱ
δώδεκα, λέγω δὴ τὸν ὠσηέ, τὸν ἀμώς, τὸν
μιχαίαν, τὸν ἰωήλ, τὸν ἰωνᾶν, τὸν ἀβδιοῦ,
ναοὺμ, ἀμβακοὺμ, καὶ σοφονίαν ἔνατον,
ἀγγαῖον, ζαχαρίαν καὶ μαλαχίαν μετέπει-
τα. αὕτη μὲν βίβλος μία προφητική· δευ-
τέρα δὲ ἠσαΐας ὁ μέγιστος, ἔπειτα ὁ ἀπὸ
βρέφους κληθεὶς ἱερεμίας, μετ᾽ αὐτὸν ἰεζεκι-
ὴλ καὶ δανιὴλ ὕστερον. παλαιὰς μὲν οὖν
ταύτας ἐξεθέμην βίβλους δύο πρὸς ταῖς
εἴκοσι, τοῖς τῶν ἑβραίων ἰσαρίθμους γράμ-
μασιν. ἤδη δέ μοι δέχου καὶ ὅσα τῆς και-
νῆς διαθήκης. πρῶτος ἑβραίοις συνεγρά-
ψατο ματθαῖος ὁ ἱερὸς τὸ κατ᾽ αὐτὸν
εὐαγγέλιον. δεύτερος δὲ ἰταλίᾳ μάρκος ὁ θεῖος.
τρίτος ἐν ἀχαΐᾳ λουκᾶς ὁ πάνσοφος. ὁ δέ γε
τὰ οὐράνια βροντήσας ἰωάννης κοινῇ πᾶσιν
εὐηγγελίσατο. μεθ᾽ οὓς αἱ θεοσημεῖαι καὶ
πράξεις τῶν σοφῶν ἀποστόλων, καὶ παύλου
τοῦ θεοκήρυκος ἐπιστολαὶ δέκα καὶ τέσσα-
ρες. καὶ καθολικαὶ ἑπτά, ὧν μία μὲν ἰα-
κώβου τοῦ ἀδελφοθέου. δύο δὲ πέτρου τοῦ
κορυφαίου καὶ ἰωάννου πάλιν τοῦ εὐαγγε-

γαὶ αὐτ πρὸν

κοῦ τρόπου. ἑβδόμη δ' ἐστὶν ἰούδα τοῦ ζηλωτοῦ.
τάδας ἔχεις τὰς ἐγκεκριμένας καὶ δεκτάς·
εἰ δέ τις ὑφαιρεθείη τούτων ἐκτὸς τοῦ μετὰ τῶν
γνησίων τέτακται.

## Ex Cod.[1] 64.

[1] Contuli cum Cod. LV.

Συναγωγὴ καὶ ἐξήγησις ὧν ἐμνήσθη ἱστοριῶν
ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν γρηγόριος ἐν τῷ
εἰς τὰ φῶτα λόγῳ, οὗ ἡ ἀρχή, Πάλιν ἰησοῦς.

α.

Οὐ διὸς ταῦτα γοναὶ καὶ κλοπαὶ τοῦ κρητῶν τυράννου.

Οἱ [2] θεολόγοι τῶν ἑλλήνων ἐκ κρόνου καὶ ῥέας λέγουσι γεγενῆσθαι τὸν δία, [3] τραφῆναι [4] δὲ τρόπῳ τοιῷδε. ὁ κρόνος τῇ ῥέᾳ γαμούμενος συνοικῶν, ἅπερ ἔτικτεν αὐτῷ παιδία λαμβάνων κατέπινεν. ἐπὶ πολλῶν δὲ τούτου [5] γενομένου ἄτεκνος ἔμεινεν ἡ ῥέα. ὅτε οὖν ἐγέννησε τὸν δία, φοβηθεῖσα μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον σπαργανώσασα ἔδωκεν τῷ κρόνῳ ὡς βρέφος καταπιεῖν. τὸν δὲ δία ὑπεξέθετο ἐν τῇ κρήτῃ, καὶ παρέσχε τῷ βρέφει τοὺς κουρῆτας καὶ τοὺς κορύβαντας ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν, καὶ φθέγγεσθαι τινα ἦχον συνάρμονον ὑποκλέπτειν καὶ παραφθείρειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ κρόνος, τοῦ κρύψαι, λαβὼν καταπίῃ. νῦν οὖν πατέρα λέγει [illegible] τὸν κρόνον, παιδίον δὲ κλαυμυριζόμενον, τὸν δία. ἐνόπλιον δὲ ὄρχησιν, τὴν πυρρίχην· κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν πρὸς τὸ συγκαλύψαι τὸν κλαυθμὸν τοῦ παιδίου. κρητῶν δὲ τύραννον εἶπεν, ὅτι ὁ μὲν θεο-

[2] ἀνόητοι addit. e.
[3] καὶ γεννηθέντα addit. e.
[4] δὲ abest. e.
[5] γινομένου. e.

λόγοι τῶν ἑλλήνων θεοὶ λέγουσι γενέσθαι καὶ τὸν κρόνον καὶ τὸν δία. ἡ δὲ δημώδης ἱστορία, ἣν καὶ τίθεται[1] ὁ μακάριος γρηγόριος, λέγει, ὅτι ὁ ζεὺς οὗτος τύραννος ἦν κρήτης, καὶ θέλοντες αὐτὸν θεραπεύειν οἱ ὑπήκοοι, ἐμυθολόγουν ὡς ἐκ κρόνου καὶ ῥέας ἔχει τὴν γένεσιν. διὸ ἐπήγαγεν, καὶ ἕλληνες ἀπαρνοῦνται, ἐπεὶ οἱ ἕλληνες οὐ θέλουσιν αὐτὸν εἶναι ἄνθρωπον καὶ τύραννον κρητῶν, ἀλλὰ θεόν.

β

Οὐδὲ Φρυγῶν ἐκτομαὶ καὶ αὐλοὶ καὶ κορύβαντες. [κεῖται καὶ ἐν τοῖς στηλιτευτικοῖς.]

Ἐν τῇ Φρυγίᾳ ἐσεβάσθη ἡ μήτηρ τῶν[2] θεῶν διὸς ποσειδῶνος, πλούτωνος καὶ ἥρας. μήτηρ[3] μὲν θεῶν τούτων, γυνὴ δὲ κρόνου. ἐπὶ ταύτῃ ἐν τῇ Φρυγίᾳ ἐγίνοντο τελεταί τινες, ἐν αἷς ἐνθουσιῶντες οἱ τελοῦντες καὶ οἱ τελούμενοι ἐξιστάμενοι ἑαυτοὺς κατέτεμνον ξίφει,[4] μὴ αἰσθανόμενοι τῆς κακῆς διὰ τὴν παραφροσύνην. καὶ αὐλοὶ δέ τινες ηὔλουν ἐπεγείροντες αὐτοὺς πρὸς τὴν ἐκτομήν. ἄχρι δὲ τοῦ παρόντος ἐν τισὶ τόποις κατατέμνουσιν ἑαυτοὺς ἕλληνες ἀλογίστως τῷ παλαιῷ ἔθει κρατούμενοι.

γ

Οὐδὲ κόρη τις ἡμῖν ἁρπάζεται. [Κεῖται καὶ ἐν τοῖς στηλιτευτικοῖς. ἔστι δὲ αὕτη.]

Ἡ δημήτηρ θεὸς εἶναι λεγομένη τίκτει θυγατέρα ἀπὸ τοῦ διὸς ἥν τινα ἐκάλει[5] κόρην καὶ περσεφόνην τὴν αὐτήν. ταύτης δὲ ἠράσθη

1) ἀείδεται. e.
f. τίθεται.

2) ψευδωνύμων addit. e.

3) καὶ τῆς μήτηρ τῶν θεῶν. e.

4) ξίφεσι. e.

5) ἐκάλεσε. e.

http://digital.slub-dresden.de/ppn345552342/8

ὁ Πλούτων, καὶ ἁρπάσας ἥρπασε καὶ κατῆλθεν εἰς τὸν [1] 1) παρὰ. e. 2) [illegible] absunt e.
ᾅδην. ἡ οὖν Δημήτηρ πανταχοῦ ζητοῦσα τὴν κόρην καὶ πολλὰ 3) ᾔδεσαν. e.
πλανηθεῖσα ἦλθεν εἰς τὴν Ἀττικήν. ἐλθοῦσα δὲ τὸν τόπον,
εἰς ὃ ἦλθεν, ἐκάλεσεν Ἐλευσῖνα. ἔμαθεν δὲ παρὰ τοῦ Κελεοῦ
καὶ τοῦ Τριπτολέμου, ὅτι ἡ κόρη ἡρπάγη [1] ὑπὸ τοῦ Πλούτωνος, καὶ
ἐστιν ἐν τῷ ᾅδῃ. μαθοῦσα οὖν ταῦτα ἡ θεὸς, ἔληξε τῆς πλάνης,
ἀμειβομένη δὲ τοὺς ἄνδρας ὑπὲρ τῆς χάριτος ταύτης, ἔ-
δωκεν αὐτοῖς τὰ σπέρματα, (τὸν [2] σῖτον καὶ τὴν κριθὴν καὶ
τὰ ὄσπρια. λέγεται γὰρ τῶν σπερματικῶν καρπῶν εἶναι
ἔφορος ἡ Δημήτηρ. δοῦσα δὲ τὰ σπέρματα) ἐδίδαξε καὶ
[illegible] καὶ [illegible] περὶ τὸ γεωργεῖν καὶ
δοῦναι πᾶσι τὸν σῖτον καὶ τὴν κριθήν. οὔπω γὰρ [3] ᾔδεσαν
οἱ ἄνθρωποι ἐσθίειν ἄρτον ἢ χρῆσθαι σίτῳ, ἀλλὰ [illegible]
βίον εἶχον. δοῦσα δὲ τοὺς σπερματικοὺς καρποὺς καὶ τὰ
μυστήρια ἐδίδαξεν αὐτοὺς, καὶ ἔδειξεν, πῶς δεῖ τελεῖν
καὶ τελεῖσθαι. γνώστωρ δὲ ἐγένετο ἡ τελετὴ ἐν τῇ Ἐλευ-
σῖνι. ἱερὸν γὰρ ἐκτίσθη ἐκεῖσε αὐτῇ ταύτῃ τῇ
Δήμητρι. εἶτα δὲ τὰ μὲν [4] ἐν ποιεῖν τὰ δὲ 4) ἐν abest. e.
ἐν πάσχειν διὰ τὸ καὶ τὴν Δήμητραν παθεῖν ἐν
ἐν τῷ ζητεῖσθαι περὶ τῆς θυγατρός, καὶ λῆξαι τῆς
πλάνης. καὶ αὐτὴν δεῖ ἐν ποιῆσαι τοὺς περὶ τὸν
Κελεὸν τὸ δέξασθαι τὰ σπέρματα καὶ τελέσαι 5) τῆς interponit. e.
τὰ μυστήρια. τὸ δὲ, οὐδὲν ταῦτα Ἐλευσῖς,
περὶ [5] κώμης λέγει, ἐν ᾗ ἐλθοῦσα ἡ Δημήτηρ
ἐτέλεσε τὰ μυστήρια. εἶπε δὲ, τῶν σιωπωμένων καὶ σιωπῆς
ὄντως ἀξίων, διὰ τὸ νόμον εἶναι τὸν κελεύοντα, μηδένα
τῶν τελεσθέντων ἢ μυηθέντων τὰ μυστήρια, δημοσιεύειν τὴν
τελετήν, ἀλλὰ σιωπῇ κατέχειν καὶ μὴ ἐκφέρειν εἰς τοὺς
ἀμυήτους.

δ.

Οὐδὲ Διόνυσος ταῦτα καὶ μηροὺς ὠδίνων.

6) Θηβῶν e. 7) συγγινόμενος e.
Σεμέλη θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβαίων [6] βασιλέως.
ταύτης ἠράσθη ὁ Ζεύς, καὶ [7] συγγενόμενος αὐτῇ εἰς ζῆλον

καὶ φθόνον ἐνέγκων ἤραν τὴν γυναῖκα αὐτοῦ.
ἀπομορφοῦται οὖν ἡ ἥρα πρὸς τὴν σεμέλην καὶ
λέγει αὐτῇ, ὅτι τὸ ὅλον ἠπάτησαι, οὐδὲ γὰρ ὁ
θεός ἐστιν ὁ [1]συγγινόμενός σοι, ἐπεὶ γὰρ τῇ
σὺν ὅτι συγγίνεται, μετὰ ἀστραπῶν καὶ κε-
ραυνῶν συγγίνεται. ἐὰν οὖν ἔλθῃ πρός σε
ὁ ζεὺς εἰπὲ αὐτῷ, ὅτι ὡς συγγίνῃ τῇ ἥρᾳ, οὕτως
σύνελθέ μοι. καὶ ἐὰν μὲν συγγένηταί σοι με-
τὰ βροντῶν καὶ κεραυνῶν, ἴσθι ὅτι ὁ ζεὺς
συγγενόμενός σοι, εἰ δὲ ἄλλως πως, οὐκ ἔστιν ὁ
θεός. ταῦτα ὑποθεμένης τῆς ἥρας, ἐλθόντος
τοῦ διὸς πρὸς τὴν σεμέλην ᾐτήσατο παρ' αὐ-
τοῦ συγγενέσθαι αὐτῇ, ὡς τῇ ἥρᾳ συγγίνε-
ται. εἶτα συγγενομένου μετὰ κεραυνῶν ἀπ-
έθανεν ἡ σεμέλη. ὁ οὖν ζεὺς θᾶττον τὸ ἔμ-
βρυον τὸ ἐν τῇ σεμέλῃ λαβὼν, καὶ τὸν ἑαυ-
τοῦ μηρὸν ἀναπτύξας, βαλὼν ἔρραψεν ἕως
οὗ γένηται τῶν ἐννέα μηνῶν. ἦν δὲ οὗτος
ὁ διόνυσος. ἀτελὲς οὖν κύημα λέγει τὸ
ἔμβρυον τοῦτο. θεὸν δὲ ἀρσενόγυνον αὐτὸν κα-
λεῖ, ὡς ποτὲ μὲν γυναικιζόμενον, ποτὲ δὲ
ἀνδριζόμενον. χοροὶ δὲ μιμούντων τοὺς σατύ-
ρους καὶ [2]τὰς βάκχας καὶ τοὺς σειληνούς. δαί-
μονες δὲ οὗτοι [3]ὀπαδοὶ καὶ ὁμοκέλευθοι
τοῦ διονύσου. αὐτοὺς δὲ τούτους λέγει καὶ στα-
τὸν ἔλυτον διὰ τὴν μέθην. ἐπειδὴ τοῦ οἴνου
ἔφορος ὁ διόνυσος. τὸ δὲ θηβαίων ἄνοια
τοῦτον ἐκάλεσε, ὅτι θηβαῖος ἦν τὸ γένος. ἄ-
νοιαν δὲ θηβαίων εἶπεν, ἐπεὶ διαβάλλονται ἐπὶ
μωρίᾳ οἱ θηβαῖοι. καὶ ἔστιν παροιμία ἡ λέ-
γουσα ἡ βοιωτία ὗς. ὁ κεραυνὸς δὲ προσ-
ποιεῖται ὅτι κατέφλεξε τὴν σεμέλην.

Τὸ δὲ εὔιον ἀλλ' ὅτι κεφαλὴ πρότερον.

1) συγγινόμενος. ε.

2) τὰς. ε.
3) ὀπαδοὶ ε

Ἡ[1] κεφαλὴ τοῦ Διὸς γέγονε κεφαλὴ[2] ὠδίνων, ὥσπερ καὶ Ὅμηρος. κεφαλὴ[3] δὲ γέγονεν ὠδίνων, ὅτε ἔσχεν ἐν αὐτῇ τὴν Ἀθηνᾶν. ἐπεὶ γὰρ αὐτὴν ὤδινεν. λαβὼν δὲ παρὰ τοῦ Ἡφαίστου μετὰ ἀξίνης κατὰ τῆς κεφαλῆς, ἔλαχεν ἐξ αὐτῆς τὴν Ἀθηνᾶν. [κεῖται ἐν τοῖς σχολιαστικοῖς πλατύτερον ἡ ἱστορία.]

1) πρότερον ἡ. e.
2) κεφαλῆς e.
3) δὲ abest e. mox idem ὅτι ἔσχεν.

— fortè πληγὴ ἐκ[illegible]

5.

Ἡ δὲ περὶ τῆς Ἀφροδίτης καὶ τῶν αἰσχρῶν αὐτῆς μυστηρίων ἔστιν αὕτη.
Λέγεται ὅτι ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ ἔσχε τὴν γένεσιν. ὁ γὰρ Κρόνος ὁ υἱὸς αὐτοῦ λαβὼν τὸ δρέπανον ἀπέκοψεν αὐτοῦ τὰ αἰδοῖα καὶ ἔρριψεν εἰς τὴν θάλασσαν. καὶ ταῦτα πεσόντα καὶ ἀφρὸν συνάξαντα ἀπεκύησαν τὴν Ἀφροδίτην. διὸ καὶ ἐκλήθη Ἀφροδίτη, ὡς ἐκ τοῦ ἀφροῦ καὶ τῶν αἰδοίων γενομένη, διὸ ἅπαν, αἰσχρῶς καὶ γεννωμένης καὶ τιμωμένης. ὁμοίως γὰρ καὶ αἱ τιμαὶ αἱ περὶ αὐτὴν καὶ αἱ ἑορταί. οἱ αἰσχρουργίας καὶ ἡδυπαθείας καὶ πορνείας ἐτελοῦντο. ὡς καὶ αὐτῆς τῆς πορνείας οὔσης ἐφόρου τῆς Ἀφροδίτης.

ϛ.

Οὐδὲ φαλλοί τινες καὶ ἰθύφαλλοι.
Ἐν τῇ ἑορτῇ τοῦ Διονύσου φαλλοὺς σκευάζοντες ἐσχηματισμένους εἰς αἰδοῖα ἀνδρὸς περιετίθεσαν οἱ Ἕλληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ Διονύσου. καὶ τινὲς μὲν τῶν φαλλῶν ἀπήρτων ἀπὸ τοῦ τραχήλου τοῦ ἑαυτῶν, τινὲς δὲ περὶ τὴν ὀσφὺν τὴν ἑαυτῶν ἀπήρτων σεσχηματισμένα αἰδοῖον ὀρθώσαν. τοῦτο δὲ ἐποίουν τιμῶντες τὸν ἐραστὴν τοῦ Διονύσου. (λέγεται[4] γὰρ, ὅτι ἠράσθη μειράκιον τοῦ Διονύσου) εἶτα τοῦτο πρὶν ἐπιτύχῃ τῆς ἀσελγείας καταποθὲν περὶ τὴν Λέρνην ἐτελεύτησεν.

4) inclusa exciderunt e.

1) τὸν πόθον prorsus omittit e. eius autem loco post ἀφοσιώσασθαι habet τιμήν.

2) περιτιθέων. e.

3) ἔθυε. e.

θ. Περὶ τῶν Λακωνικῶν ἐφήβων.

4) ἡ abest. e.

5) συσσίτια e. ~~[illegible]~~

6) ἐπενοοῦντο αἰσχρόν. e.

7) τοῦ abest. e.

ὁ οὖν Διόνυσος βουλόμενος [τὸν[1] πόθον a recentiori manu] ἀφοσιώσασθαι τοῦ τελευτήσαντος μειρακίου, σύκινον αἰδοῖον ποιήσας ἐπέπηξεν εἰς τὸν ἑαυτοῦ δάκτυλον, καὶ ἐκ τούτου τιμῶντες οἱ Ἕλληνες τὸν Διόνυσον τοὺς φαλλοὺς [2] περιτιθέασιν αὐτοῖς.

ηʹ.

Περὶ τῆς τῶν Ταύρων ξενοκτονίας.

Ταῦροι ἔθνος ἐστὶ Σκυθικόν, ἔνθα ἦν ἱερὸν τῆς Ἀρτέμιδος. ταύτης δὲ ἱέρεια ἡ Ἰφιγένεια ἦν ἡ τοῦ Ἀγαμέμνονος θυγάτηρ. ἐν τούτῳ τῷ ἱερῷ πάντα ἄνθρωπον ἐπιδημοῦντα ξένον ἔθυον[3] τῇ Ἀρτέμιδι.

θʹ.

Οἱ Λακεδαιμόνιοι πρὸς πολεμίαν γυμναζόμενοι ἑορτὴν ἐποίουν, ἐν ᾗ ἐμάστιζον ἀλλήλους καὶ ἀνδρείαν τινὰ ἐκ τούτου ἐπαιδεύοντο, ἵνα ἀνδρείως ἔχοιεν περὶ τοὺς πολέμους. ἔλεγον δὲ οἱ Λάκωνες ἐν τῇ ἑορτῇ τῶν μαστιγωτὴν Ἄρτεμιν. ταύτην γὰρ καλοῦσι θεὰν παρθένον. ἀνδρικὴ γὰρ καὶ ὑπεράνω πάσης δειλίας καὶ ἐπιθυμίας. μαλακίαν δὲ λέγει τετιμηκέναι τοὺς Λάκωνας,[4] ἢ ὅτι ἐποίουν τινὰ ἑορτήν, τὰ σύσσιτια[5] δὲ λέγω, ἐν ᾗ παῖδες ἤσθιον καὶ ὠρχοῦντο καὶ ἐθηλύνοντο· ἢ ὅτι ἐπε[6]θυμοῦντο τὸ αἰσχρὸν πάθος, ὥσπερ φέρεται περὶ τοῦ[7] Παυσανίου καὶ τοῦ Ἀργιλίου, ὅτι παιδικὰ ἦν ποτε ὁ Ἀργίλιος τοῦ Παυσανίου. τὸ δὲ θρασύτητα ἐσαφήνισαν, περὶ τῆς ἀνδρείας καὶ τῆς καρτερίας τῶν μαστίγων ὁ λόγος ἢ τοῦ Διονύσου καὶ τῆς Ἀρτέμιδος.

ι.

Ὁ Πέλοψ Ταντάλου ἦν υἱός, τούτῳ δὲ ἐπεξενώθησαν οἱ θεοί, καὶ βουλόμενος αὐτοὺς ξενίσαι ἔθυσεν αὐτοῖς τὸν υἱὸν καὶ ἑψήσας [1] παρέθετο αὐτοῖς. οἱ δὲ θεοὶ θαυμάσαντες ἅμα καὶ ἐλεήσαντες τὸν Τάνταλον συναγαγόντες τὰ κρέα συνέθηκαν τὸν Πέλοπα, καὶ ἀνεβίω καὶ ἔζησεν. εἷς δὲ τῶν θεῶν ἐκ τοῦ ὤμου φαγών, φασὶ δὲ εἶναι τὴν Δήμητρα[2], ἐν τῇ συνθέσει τοῦ σώματος ἐλεφάντινόν τι [3] ἐνέθηκα κατὰ τοῦ ὤμου. ἀναβιώσας δὲ ὁ παῖς εἶχε τὸν ὦμον ἐλεφάντινον. οἱ οὖν Πελοπίδαι ἀπὸ τοῦ ὤμου ἐγινώσκοντο. εἶχον γὰρ οἱ ἀπόγονοι τὸ μέρος τοῦ ὤμου ἐλεφάντινον.

1) παρέθηκεν. e.

2) τὴν δήμητραν. e.

3) ἔθηκε. e. καὶ deest κατὰ. et post ὤμου, addit αὐτοῦ.

ια.

Τὴν Ἑκάτην φασὶ θεὸν οἱ Ἕλληνες. καὶ οἱ μὲν αὐτὴν λέγουσιν εἶναι τὴν Ἄρτεμιν, οἱ δὲ τὴν Σελήνην. ἄλλοι δὲ ἰδικήν τινα θεὸν ἐν φάσμασι τισὶν ἐπιτόποις φαινομένην τοῖς ἐπικαλουμένοις. μάλιστα δὲ φαίνεται τοῖς [4] καταρωμένοις. τὰ δὲ φάσματα, δρακοντοκέφαλοι φαίνονται ἄνθρωποι καὶ ὑπερμήκεις καὶ ὑπερμεγέθεις, ὥστε ἐκ μόνης τῆς θέας καταπλῆξαι τοὺς ὁρῶντας.

4) τοῖς ῥωμαίοις. e.

ιβ.

Περὶ τοῦ Τροφωνίου. Κεῖται καὶ ἐν τοῖς κατὰ Ἰσμαρ(?)

Τροφώνιος καὶ Ἀγαμήδης ἐγένοντο ἀδελφοὶ δύο, μάντεις τὴν τέχνην. τούτων ὁ Τροφώνιος ὑπὸ κενοδοξίας ἑαυτὸν κατέχωσεν, ἵνα δόξας ἀφανὴς εἶναι νομισθείη [5] ἀνηρπάσθαι εἰς θεούς. ὑπόβρυχος δὲ γεγονὼς ἐν σπηλαίῳ τινὶ ἀπέψυξεν. ἀλλ' οἱ θεοὶ ἐλεήσαντες αὐτόν, τὸν τόπον, ἐν ᾧ ἀπέψυξεν, ἐποίησαν μαντεύεσθαι.

5) νομισθῇ. e.

καταβαίνουσιν εἰς τὸ σπήλαιον οἱ βουλόμενοι καὶ τελετὰς ποιοῦντες ἀνάγουσιν ὡς χρησμῳδήσαντες. λέγεται δέ, ὅτι πᾶς κατιὼν εἰς τὸ σπήλαιον ἐκεῖνο ἀγέλαστος ἦν διὰ παντός.

ιγ.

Περὶ τῆς δωδωναίας δρυός.

Η δωδώνη πόλις ἐστὶ περὶ τὴν ἤπειρον. ἐν ταύτῃ ἦν δρῦς, ἐν ᾗ ἐλέγετο ὁ ζεὺς ἐνδιαιτᾶσθαι καὶ μαντείαν[1] διδόναι τοῖς χρῄζουσι μαντείας. ἐξ αὐτῆς τῆς δρυὸς κρεμαστά τινα μαντικὰ ἐξηρτημένα καὶ ξύλα ὄντα τοῖς κατὰ τὸν τόπον προσῆλθε. διὰ γυναικῶν δὲ ἐχρησμῴδει ἐκεῖσε ὁ ζεύς.

ιδ.

Περὶ τοῦ τρίποδος τοῦ δελφικοῦ.

Δελφοὶ πόλις τῆς φωκίδος ἦν. φωκὶς δὲ ἐπαρχία τῆς ἑλλάδος. ἐν τούτοις τοῖς δελφοῖς ἦν ἱερὸν τοῦ ἀπόλλωνος, ἐν ᾧ ἦν ἡ πυθώ, ἐν ᾗ ἵστατο[2] ὁ τρίπους ὁ χαλκοῦς, ἐξ οὗ τρίποδος ἡ μαντεία ἐξεφέρετο. ἐπάνω γὰρ τοῦ τρίποδος ἦν χαλκῆ τις φιάλη, ἐν ᾗ αἱ ψῆφοι αἱ μαντικαὶ ἥλλοντο καὶ ἐπήδων, ἡνίκα ὁ ἀπόλλων τὴν μαντείαν ἐξέφερεν. τρίπους δὲ ἦν ὥς φασι διὰ τὸ τὴν[3] μαντείαν κατὰ τοὺς τρεῖς χρόνους μαντεύειν περὶ τῶν παρῳχημένων καὶ περὶ τῶν ἐνεστώτων καὶ τῶν μελλόντων.

ιε.

Περὶ τῆς κασταλίας.

[4] Ἔστι πηγὴ περὶ τὴν ἀντιόχειαν, ἐν ᾗ ὁ ἀπόλλων ἐλέγετο μαντεύειν. ἡ δὲ μαντεία ἐξεφέρετο κατὰ[5] ποιάν τινα ῥοὴν τοῦ ὕδατος, οὐ κατὰ φωνήν. οὐ γὰρ[6] φωνή τις ἐξήρχετο, ἀλλὰ

1) μαντείας. e.

2) ἵστατο τρίπους χαλκοῦς. e.

3) τὴν, abest. e.

4) ὁ abest. e.

5) καὶ τὴν τοιάνδε. e.

6) καταφάνην e

πτώματός τινος ἀναδιδομένης ἐν τῇ ἀκοῇ[1]
σημεῖά τινα ὁρῶντες οἱ ἰώμενοι καὶ νοοῦν-
τες τὰ σύμβολα, ἔλεγον τὰ μέλλοντα.

1) τὰς ὀσφρήσεις. e.

15.

## Περὶ τῆς τῶν μάγων θυτικῆς προγνώσεως.

Οἱ μάγοι διὰ θυσιῶν ἔλεγον τὰς προγνώσεις. θύοντες γὰρ καὶ ἀνατέμνοντες τινὰ σημεῖα ἐθεώρουν ἐν τοῖς[2] ἐγκάτοις καὶ ἐν τοῖς ἥπασι, δι' ὧν ἔλεγον τὰ σημαινόμενα. γένος δὲ Περσῶν οἱ μάγοι, ἐξ ὧν οἱ ἡπατοσκόποι ἐξῆλθον.

2) ἐν τοῖς σπλάγχνοις. e.

ις.

## Περὶ ἀστρολογίας.

Οἱ Χαλδαῖοι ὧν πρῶτος Ζωροάστρης καὶ μετ' ἐκεῖνον ὁ[3] Ὀστάνης ἐπιστῆσαι λέγονται τῇ οὐρανίᾳ κινήσει, (τὰς τῶν[4] κινήσεις) καὶ τοὺς σχηματισμοὺς[5] ἐπιγνόντες.

3) ὁ Ὀστάνης. e.

4) inclusa absunt e.

5) τῶν ἀστέρων interponit. e.

ιζ.

## Περὶ τῶν Φρυγίων ὀργίων.

Λέγεται, ὅτι [6]πρῶτοι πάντων ἀνθρώπων Φρύγες ἤρξαντο θρησκεύειν καὶ θεραπεύειν καὶ τελετὰς τελεῖν καὶ μυστήρια ποιῆσαι, ἐξ ὧν καὶ τὸ θρησκεύειν λέγεται[7] ἡ περὶ τὸ θεῖον εὐσέβεια. πρότερος δὲ πάντων ἀνθρώπων ὁ Φρὺξ λέγεται ἀφηγήσασθαι τὰς τελετὰς καὶ τὸν τρόπον τῶν τελετῶν.

6) πρῶτοι abest. e.

7) καὶ θρησκεία addit. e.

ιθ.

## Περὶ τῶν κολάσεων τοῦ Μίθρου.

Τὸν Μίθραν ἄλλοι ἄλλως ἐνόμισαν. οἱ μὲν γὰρ τὸν ἥλιον, οἱ δὲ τὸν ἔφορον τοῦ πυρός, ἄλλοι δὲ ἰδικήν τινα δύναμιν. γίνονται δὲ τούτῳ τῷ Μίθρᾳ τινὲς τελεταὶ καὶ μάλιστα παρὰ Χαλδαίοις. οἱ δὲ τελούμενοι τῷ Μίθρᾳ κατὰ βαθμόν τινα κολάσεως ἐτελοῦντο. καὶ πρότερον τὰς ἐλαφροτέρας κολάσεις παρελάμβανον, εἶθ' οὕτως τὰς δραστικωτέρας.

http://digital.slub-dresden.de/ppn345552342/15

δον πρότερον ἐλίμωττον αὐτοὺς τοὺς τελουμένους ἐπὶ πεντήκοντα ἡμέρας εἰ τύχοι, καὶ εἰ διήγαγον [1] καρτερικῶς, πάλιν ἐποίουν αὐτοὺς ζεσθῆναι [2] ἐπὶ δύο ἡμέρας, εἶτα πάλιν κρυβῆναι εἰς χιόνα εἴκοσιν ἡμέρας, καὶ οὕτω τὰς κολάσεις ἀσκοῦντες, εἰ οἱ τελούμενοι καρτερικῶς ἐφαίνοντο, τότε λοιπὸν ἐποίουν αὐτοὺς τὰ τελεώτερα.

κ.

Περὶ τοῦ Ὀσίριδος.

Ὄσιρις παρ' Αἰγυπτίοις ἐνομίσθη εἶναι θεός. καὶ οἱ μὲν λέγουσιν αὐτὸν εἶναι τὸν Διόνυσον, οἱ δὲ ἕτερον. τοῦτον οὖν τὸν Ὄσιριν ὑπὸ Τυφῶνος ἐσπαράχθαι φασί, καὶ μέγα πένθος γενέσθαι τοῖς Αἰγυπτίοις. ἐπὶ πάντα δὲ τὸν χρόνον μνήμην ποιεῖσθαι τοῦ σπαραγμοῦ τοῦ Ὀσίριδος. ὥσπερ δέ φασι τὸν Διόνυσον ἐσπαράχθαι ὑπὸ τῶν Τιτάνων, οὕτω καὶ τὸν Ὄσιριν ὑπὸ [3] Τυφῶνος. δαίμων δέ τις εἶναι λέγεται οὗτος ὁ Τυφών.

κα.

Ἡ Ἶσις αὐτὴ ἡ αὐτὴ ἐνομίσθη εἶναι τῇ Ἰοῖ, τῇ ἁρπαχθείσῃ [4] ὑπὸ τοῦ Διός· ὁ γὰρ Ζεὺς φασὶν ἥρπασε τὴν Ἰώ. καὶ φοβούμενος τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα, μετέβαλεν τὴν Ἰὼ εἰς βοῦν. καὶ ποτὲ μὲν εἰς λευκήν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ [5] ἰδιάζουσαν. καὶ οὕτως ἐπλανᾶτο μετ' αὐτῆς. ἦλθεν οὖν ὁ Ζεὺς εἰς τὴν Αἴγυπτον μετὰ τῆς Ἰοῦς πλανώμενος. τιμῶντες οὖν οἱ Αἰγύπτιοι τὴν Ἰὼ ἤλοι τὴν Ἶσιν, καὶ τοῦ ἀγάλματος αὐτῆς ἐπὶ τῆς κεφαλῆς κέρατα ἐγγλύφουσι, σημαίνοντες τῆς μορφῆς τὴν εἰς τὴν βοῦν μεταβολήν.

1) καρτερικῶς. e.

2) ζεσθῆναι. e. ~~Id abest ms~~ ~~δύο~~

3) ὑπὸ τοῦ. 3.

4) ἁρπαγείσῃ. e.

5) ἀλλάξασαν. e.

κβ'.

Παρ' αἰγυπτίοις καλεῖται ὁ τράγος μένδης. ἔσεβον οὖν οἱ αἰγύπτιοι τὸν τράγον, ὡς ἀνακείμενον τῇ γονίμῳ δυνάμει. λέγεται γὰρ ὀχευτικὸν ζῶον ὁ τράγος. τοὺς οὖν τράγους οἱ οἰκοῦντες κατὰ τὸ μενδήσιον κέρας οὐκ ἤσθιον αἰδοῖ τῆς γονίμου δυν. ἐτίμων δὲ μεγάλως καὶ τοὺς αἰπόλους τῶν αἰγῶν. ἦν δὲ καὶ ἱερὸν τοῦ μενδησίου παρ' αἰγυπτίοις, ἐν ᾧ ἄγαλμα τραγοσκελὲς ἦν. ὀρθὸν τὸ αἰδοῖον ἔχον.

κγ'.

Περὶ τοῦ ἄπιδος.

Κατὰ χρόνον τινὰ κατά τινα περίοδον ἐγεννᾶτο τοῖς αἰγυπτίοις βοῦς, ὃν ἔλεγον ἐκ σέλαος τῆς σελήνης συλληφθέντα τίκτεσθαι. ἐκαλεῖτο δὲ παρ' αὐτοῖς ἆπις. εἶχε δέ τινα σημεῖα περὶ τὴν οὐρὰν καὶ περὶ τὴν γλῶτταν ἐξ ὧν ἐγνωρίζετο ὅτι ὁ ἆπις εἴη. τούτου οὖν τοῦ βοὸς γεννωμένου ἑορτὴν ἐποίουν αἰγύπτιοι, ὡς θεοῦ αὐτοῖς ἐπιδημήσαντος καὶ παρετίθεσαν αὐτῷ[1] ἐν θάλλῃ πανδαισίαν πολλὴν εὐωχοῦντες τὸν θεὸν τὸν ἆπιν.

1) αὐτοῖς. e.

κδ'.

Περὶ τοῦ νείλου.

Τιμῶσι τοῦτον αἰγύπτιοι ἐν τῇ ἀναβάσει καὶ εὐφημοῦσιν, ὡς εὐφορίας αὐτὸν νομίζοντες αἴτιον. αὐτὸ τὸ ὕδωρ τιμῶντες τὸ αὐξόμενον.[2]

2) αὐξανόμενον. e.

κε'.

Ὅτι κροκόδειλα καὶ ἑρπετὰ ἐσέβοντο αἰγύπτιοι, τὰς ἴβεις,[3] τοὺς κροκοδείλους, τοὺς ὄφεις, τοὺς αἰλούρους καὶ τινὰ τῶν ἰχθύων γένη ἐξ ἀλογίστου τιμῆς ἀτιμίαν ἑαυτοῖς πορισάμενοι.

3) ἴβις. e. Vide quae notavi ad Orat. Greg. Naz. p. 46. not 42. edit Mosq. in 4o. 1780.

http://digital.slub-dresden.de/ppn345552342/18

Msc. Dresd.
A 144.

http://digital.slub-dresden.de/ppn345552342/19

http://digital.slub-dresden.de/ppn345552342/20